ὁμοίως δὲ καὶ τὰς οἰκείας ἔχειν γυναῖκας A πρὸς τὰς ἄλλας· ὡς καὶ διὰ γυναικῶν ὕβρεις πολλαὶ τυραννίδες ἀπολώλασι. περί τε τὰς ἀπολαύσεις τὰς σωματικὰς τοὐναντίον ποιεῖν, ἢ νῦν τινες τῶν τυράννων ποιοῦσιν. οὐ γὰρ μόνον εὐθὺς ἕωθεν τοῦτο δρῶσι, καὶ συνεχῶς πολλὰς ἡμέρας, ἀλλὰ καὶ φαίνεσθαι τοῖς ἄλλοις βούλονται τοῦτο πράττοντες, ἵν' ὡς εὐδαίμονας καὶ μακαρίους θαυμάσωσιν. ἀλλὰ B μάλιστα μὲν μετριάζειν τοῖς τοιούτοις. εἰ δὲ μή, τό γε φαίνεσθαι τοῖς ἄλλοις διαφεύγειν. οὔτε γὰρ εὐεπίθετος, οὔτ' εὐκαταφρόνητος ὁ νήφων, ἀλλ' ὁ μεθύων· οὐδ' ὁ ἄγρυπνος, ἀλλ' ὁ καθεύδων. τοὐναντίον τε ποιητέον τῶν πάλαι λεχθέντων σχεδὸν πάντων. κατασκευάζειν γὰρ δεῖ καὶ κοσμεῖν τὴν πόλιν, ὡς ἐπίτροπον ὄντα, καὶ μὴ τύραννον. ἔτι δὲ τὰ πρὸς τοὺς θεοὺς C φαίνεσθαι ἀεὶ σπουδάζοντα διαφερόντως. ἧττόν τε γὰρ φοβοῦνται τὸ παθεῖν τι παράνομον ὑπὸ τῶν τοιούτων, ἐὰν δεισιδαίμονα νομίζωσιν εἶναι τὸν ἄρχοντα, καὶ φροντίζειν τῶν θεῶν· καὶ ἐπιβουλεύουσιν ἧττον, ὡς συμμάχους ἔχοντι καὶ τοὺς θεούς. δεῖ δ' ἄνευ ἀβελτηρίας φαίνεσθαι τοιοῦτον. τούς τε ἀγαθοὺς περί τι γινομένους τιμᾶν οὕτως, ὥστε μὴ νομίζειν ἄν ποτε τιμηθῆναι μᾶλλον ὑπὸ τῶν πολιτῶν αὐτονό- D μων ὄντων. καὶ τὰς μὲν τοιαύτας τιμὰς ἀπονέμειν αὐτόν· τὰς δὲ κολάσεις δι' ἑτέρων ἀρχόντων καὶ δικαστηρίων. κοινὴ δὲ φυλακὴ πάσης μοναρχίας, τὸ μηδένα ποιεῖν ἕνα μέγαν· ἀλλ' εἴπερ, πλείους· τηρήσουσι γὰρ ἀλλήλους· ἐὰν δ' ἄρα τινὰ δέῃ ποιῆσαι μέγαν, μή τοι τό γε ἦθος θρασύν· ἐπιθετικώτατον γὰρ τὸ τοιοῦτον ἦθος περὶ πάσας τὰς πράξεις· E κἂν τῆς δυνάμεώς τινα δοκῇ παραλύειν, ἐκ προσαγωγῆς τοῦτο δρᾶν, καὶ μὴ πᾶσαν ἀθρόον ἀφαιρεῖσθαι τὴν ἐξουσίαν. ἔτι δὲ, πάσης μὲν ὕβρεως εἴργεσθαι· παρὰ πάσας δὲ δυοῖν, τῆς τε εἰς τὰ σώματα κολάσεως, καὶ τῆς εἰς τὴν ἡλικίαν. μάλιστα δὲ ταύτην ποιητέον τὴν εὐλάβειαν περὶ τοὺς φιλοτίμους. τὴν μὲν γὰρ εἰς τὰ χρήματα ὀλιγωρίαν, οἱ φιλοχρήματοι φέρουσι βαρέ- F ως· τὴν δὲ εἰς ἀτιμίαν, οἵ τε φιλότιμοι καὶ οἱ ἐπιεικεῖς τῶν ἀνθρώπων. διόπερ ἢ μὴ χρῆσθαι δεῖ τοῖς τοιούτοις, ἢ τὰς μὲν κολάσεις πατρικῶς φαίνεσθαι ποιούμενον, καὶ μὴ δι' ὀλιγωρίαν· τὰς δὲ πρὸς τὴν ἡλικίαν ὁμιλίας, δι' ἐρωτικὰς αἰτίας, ἀλλὰ μὴ δι' ἐξουσίαν.

Eodémque modo se habere mulieres suas erga cæteras mulieres. nam & per contumelias mulierum permultæ iam tyrannides perierunt. Et circa voluptates corporis contrarium facere, quàm nunc faciant quidam tyranni. non solùm enim statim ab aurora id agunt, conuiuantúrq. per dies plures, verumetiam apparere volunt aliis quòd ita faciant, vt tanquam fœlices beatósque admirentur. Sed in talibus maxima erit moderatio adhibenda, vel saltem videantur illa fugere. non enim faciliter inuadi potest, nec faciliter contemni qui sobrius sit, sed qui ebrius: neque qui vigilet, sed qui dormiat, contrariúmque agẽdum est suprà dictorum ferè omnium. corroboranda enim & ornãda ciuitas est ab eo, tanquam à curatore, ac non tyranno. Videri etiam oportet ipsum erga religionem Deorum affici vehementer. minus enim formidabunt populi, ne quid contra iustitiam fiat, si religioni deditum illum existimabunt, ac Deorum timorem habere: minúsque contra illum audebunt insurgere, quasi Deos habeat propitios & fauentes. Verumtamen oportet sine improbitate talem videri, atque eos viros qui aliqua in re laudabiliter se gesserint, honorare, ita vt non existiment vnquam se magis honorari à ciuibus suis, in libertate degentibus potuisse. Hos autem honores ipsemet tribuere debet tyrannus: pœnas verò & animaduersiones per alios infligere, per magistratus videlicet, & iudicia. Communis verò custodia omnis dominationis vnius, est neminem vnum præ cæteris magnum facere, sed plures: nam se inuicem custodient. Quòd si quem extollere oporteat, non tamen eum qui sit moribus audax. nam huiusmodi homines aptissimi sunt ad inuadendum circa res omnes. Si verò cuiusquam potentia minuenda est, modicè ac non vno simul impetu omnis potestas est auferenda. Insuper ab omni contumelia abstinendum, præcipuè tamen à duabus: ne in corpus flagris, néve in ætatem libidine insultum agat. Maximéque id cauendum in illis hominibus, qui honorem magnifaciunt. nam in pecunias illatam iniuriam, auari homines grauiter ferunt: in honorem verò illatam, & qui boni sunt viri, & qui honorem magnifaciunt, permolestè patiuntur. quapropter aut non huiusmodi hominum opera vtendum est, aut animaduersiones in illos patrio more, ac sine vlla cõtumelia sunt faciendæ. In ætatem verò ex amore sit conuersatio, non ex licentia,